ὅτι πείσουσιν τὸν θεόν, μᾶλλον δὲ καὶ τοὐναντίον ὑποπτεύειν ἔχοντες ἀπὸ τοῦ χρησμοῦ· οὐ γὰρ μετὰ διορισμοῦ τινος εἴρητο τὸ λεχθέν, ἀλλ' ἀπόφασις ἦν καθαρά, καὶ οὕτω τὴν μετάνοιαν ἐπεδείκνυντο λέγοντες· « Τίς οἶδεν εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ θεὸς καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, [καὶ οὐ μὴ ἀπολώμεθα. » Εἶτα ἐπάγει· « Καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν καὶ μετενόησεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησεν τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν. »] Εἰ δὲ ἄνθρωποι βάρβαροι καὶ ἀλόγιστοι τοσοῦτον ἠδυνήθησαν συνιδεῖν, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν χρή, τοὺς τὰ θεῖα δόγματα παιδευθέντας καὶ τῶν τοιούτων παραδειγμάτων καὶ ἐν ῥήμασιν καὶ ἐν πράξεσιν πολὺ τὸ πλῆθος ἑορακότας· « Οὐ γάρ εἰσιν, φησίν, αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ αἱ ὁδοί μου ὥσπερ αἱ ὁδοὶ ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει τὰ διανοήματά μου ἀπὸ τῶν διανοιῶν ὑμῶν, καὶ αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν. » Εἰ δὲ ἡμεῖς τοὺς ἀπὸ τύχης προσκεκρουκότας τῶν οἰκετῶν, ἂν ἐπαγγέλλωνται γενέσθαι βελτίους, καὶ προσιέμεθα καὶ πάλιν ἐπὶ τῆς προτέρας ἄγομεν τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παρρησίας μεταδίδομεν, οὐ πολλῷ μᾶλλον αὐτός; Εἰ μὲν γὰρ διὰ τοῦτο ἐποίησεν ἡμᾶς ἵνα κολάσῃ, καλῶς ἂν ἀπεγνώκεις καὶ ἠμφισβήτεις ὑπὲρ τῆς σωτηρίας τῆς ἑαυτοῦ· εἰ δὲ δι' οὐδὲν ἕτερον ἢ δι' ἀγαθότητα μόνην ἐδημιούργησεν ἡμᾶς, ἵνα τῶν αἰωνίων

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/76 UNIVERSITÄT LEIPZIG